πατρὸς αὐτοῦ, πλὴν ἐν τοῖς ὑψηλοῖς ἔθυεν καὶ ἐθυμία. [4]καὶ ἀνέστη 4
καὶ ἐπορεύθη εἰς Γαβαων θῦσαι ἐκεῖ, ὅτι αὐτὴ ὑψηλοτάτη καὶ μεγά-
λη · χιλίαν ὁλοκαύτωσιν ἀνήνεγκεν Σαλωμων ἐπὶ τὸ θυσιαστήριον
ἐν Γαβαων. [5]καὶ ὤφθη κύριος τῷ Σαλωμων ἐν ὕπνῳ τὴν νύκτα, 5
καὶ εἶπεν κύριος πρὸς Σαλωμων Αἴτησαί τι αἴτημα σαυτῷ. [6]καὶ 6
εἶπεν Σαλωμων Σὺ ἐποίησας μετὰ τοῦ δούλου σου Δαυιδ τοῦ
πατρός μου ἔλεος μέγα, καθὼς διῆλθεν ἐνώπιόν σου ἐν ἀληθείᾳ
καὶ ἐν δικαιοσύνῃ καὶ ἐν εὐθύτητι καρδίας μετὰ σοῦ, καὶ ἐφύλαξας
αὐτῷ τὸ ἔλεος τὸ μέγα τοῦτο δοῦναι τὸν υἱὸν αὐτοῦ ἐπὶ τοῦ
θρόνου αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη · [7]καὶ νῦν, κύριε ὁ θεός μου, σὺ 7
ἔδωκας τὸν δοῦλόν σου ἀντὶ Δαυιδ τοῦ πατρός μου, καὶ ἐγώ εἰμι
παιδάριον μικρὸν καὶ οὐκ οἶδα τὴν ἔξοδόν μου καὶ τὴν εἴσοδόν
μου, [8]ὁ δὲ δοῦλός σου ἐν μέσῳ τοῦ λαοῦ σου, ὃν ἐξελέξω, λαὸν 8
πολύν, ὃς οὐκ ἀριθμηθήσεται, [9]καὶ δώσεις τῷ δούλῳ σου καρδίαν 9
ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ τοῦ συνίειν
ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ · ὅτι τίς δυνήσεται κρίνειν τὸν λαόν
σου τὸν βαρὺν τοῦτον; [10]καὶ ἤρεσεν ἐνώπιον κυρίου ὅτι ᾐτήσατο 10
Σαλωμων τὸ ῥῆμα τοῦτο, [11]καὶ εἶπεν κύριος πρὸς αὐτόν Ἀνθ᾽ ὧν 11
ᾐτήσω παρ᾽ ἐμοῦ τὸ ῥῆμα τοῦτο καὶ οὐκ ᾐτήσω σαυτῷ ἡμέρας
πολλὰς καὶ οὐκ ᾐτήσω πλοῦτον οὐδὲ ᾐτήσω ψυχὰς ἐχθρῶν σου,
ἀλλ᾽ ᾐτήσω σαυτῷ σύνεσιν τοῦ εἰσακούειν κρίμα, [12]ἰδοὺ πεποίηκα 12
κατὰ τὸ ῥῆμά σου · ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην καὶ σοφήν,
ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου καὶ μετὰ σὲ οὐκ ἀναστήσεται
ὅμοιός σοι. [13]καὶ ἃ οὐκ ᾐτήσω, δέδωκά σοι, καὶ πλοῦτον καὶ δό- 13
ξαν, ὡς οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσιν · [14]καὶ ἐὰν 14
πορευθῇς ἐν τῇ ὁδῷ μου φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ προσ-
τάγματά μου, ὡς ἐπορεύθη Δαυιδ ὁ πατήρ σου, καὶ πληθυνῶ
τὰς ἡμέρας σου. [15]καὶ ἐξυπνίσθη Σαλωμων, καὶ ἰδοὺ ἐνύπνιον · 15
καὶ ἀνέστη καὶ παραγίνεται εἰς Ιερουσαλημ καὶ ἔστη κατὰ πρόσ-
ωπον τοῦ θυσιαστηρίου τοῦ κατὰ πρόσωπον κιβωτοῦ διαθήκης
κυρίου ἐν Σιων καὶ ἀνήγαγεν ὁλοκαυτώσεις καὶ ἐποίησεν εἰρηνικὰς
καὶ ἐποίησεν πότον μέγαν ἑαυτῷ καὶ πᾶσιν τοῖς παισὶν αὐτοῦ.
[16]Τότε ὤφθησαν δύο γυναῖκες πόρναι τῷ βασιλεῖ καὶ ἔστησαν 16

3 εθυεν] pr. ※αυτος *O* || 4 και επορευθη] add.(*O*$^{247}$† pr.) ※ο βασιλευς *O*†, pr. σολομων *L*† | θυσιαστ.] + ※εκεινο *O*† || 5 κυρ. τω σαλ.] τω σαλ. ο κυρ. A† || 6 του $1^0$ > A† | ελεος ult.] + σου A† | επι] pr. ※καθημενον *O*† || 7 εξοδον ... εισοδον] tr. *OL* || 8 fin.] + ※και ου ψηφισθησεται απο πληθους *O*†: similia add. *L*† || 9 λαον $1^0$] δουλον A† | του] pr. και B*L* | συνιεναι A*L* || 10 ηρεσεν] + ο λογος *O*(sub ※)*L*† || 11 ητησω $3^0$] + ※σεαυτω *O*† | συνεσιν] του συνιειν BA†, συνιειν *O*$^{247}$†: ex 9 || 12 κατα > B† | φρονιμην .. σοφην] tr. *O*† || 13 εδωκα A† | ανηρ / ομοιος σοι] tr. *O*$^{247}$† | ανηρ > A† | fin.] + ※πασας τας ημερας σου *O*† || 14 τας εντολας ... τα προσταγμ.] tr. *O*† || 15 αυτου] εαυ. BA†